Als de held valt, weent men om hem en is zijn roem eeuwig

Tyrtaeus, Fragment 9,21-34

αἴψα δὲ δυσμενέων• ἀνδρῶν ἔτρεψε• φάλαγγας
τρηχείας, σπουδῇ δ᾽ ἔσχεθε• κῦμα• μάχης.
αὐτὸς δ᾽ ἐν προμάχοισι πεσὼν φίλον• ὤλεσε• θυμόν
ἄστυ τε καὶ λαοὺς• καὶ πατερ᾽ εὐκλείσας,
πολλὰ• διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης•
καὶ διὰ θώρηκος πρόσθεν ἐληλάμενος•.
τὸν• δ᾽ ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε• πόλις,
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποισ᾽ ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω·
οὐ• δέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ᾽ ὄνομ᾽ αὐτοῦ
ἀλλ᾽ ὑπὸ• γῆς περ ἐὼν• γίγνεται ἀθάνατος,
ὅντιν᾽• ἀριστεύοντα• μένοντά τε μαρνάμενόν τε
γῆς• περὶ καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ•.